εὑροίμην. δοίην δ᾽ ἀντ᾽ ἀνιῶν ἀνίας·
αἶσα γὰρ οὕτως ἐστί, τίσις δ᾽ οὐ φαίνεται ἡμῖν
ἀνδρῶν οἳ τἀμὰ χρήματ᾽ ἔχουσι βίηι
συλήσαντες· ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην
χειμάρρωι ποταμῶι, πάντ᾽ ἀποσεισάμενος.
τῶν εἴη μέλαν αἷμα πιεῖν· ἐπί τ᾽ ἐσθλὸς ὄροιτο
δαίμων ὃς κατ᾽ ἐμὸν νοῦν τελέσειε τάδε.

---

ἆ δειλὴ Πενίη, τί μένεις προλιποῦσα παρ᾽ ἄλλον
ἄνδρ᾽ ἰέναι; μὴ δή μ᾽ οὐκ ἐθέλοντα φίλει,
ἀλλ᾽ ἴθι καὶ δόμον ἄλλον ἐποίχεο, μηδὲ μεθ᾽ ἡμέων
αἰεὶ δυστήνου τοῦδε βίου μέτεχε.

(Theognidis)

τόλμα Κύρνε κακοῖσιν, ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες,
εὖτέ σε καὶ τούτων μοῖρ᾽ ἐπέβαλλεν ἔχειν·
ὡς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακόν, ὣς δὲ καὶ αὖθις
ἐκδῦναι πειρῶ θεοῖσιν ἐπευχόμενος.
μηδὲ λίην ἐπίφαινε· κακὸν δέ τε Κύρν᾽ ἐπιφαίνειν·
παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.

(Theognidis)

ἀνδρός τοι κραδίη μινύθει μέγα πῆμα παθόντος
Κύρν᾽· ἀποτεινυμένου δ᾽ αὔξεται ἐξοπίσω.

---

εὖ κώτιλλε τὸν ἐχθρόν· ὅταν δ᾽ ὑποχείριος ἔλθηι,
τεῖσαί μιν πρόφασιν μηδεμίαν θέμενος.

---

ἴσχε νόωι, γλώσσηι δὲ τὸ μείλιχον αἰὲν ἐπέστω·